ἐτῶν, καὶ ὅ τι μὲν ἂν ἱκανὸν εἶναι δόξῃ τῶν παλαιῶν ποιη-
μάτων, ἐγκρίνειν, ὅ τι δ' ἂν ἐνδεὲς ἢ τὸ παράπαν ἀνεπιτή-
δειον, τὸ μὲν ἀποβάλλεσθαι παντάπασιν, τὸ δ' ἐπαναιρόμενον
ἐπιρρυθμίζειν, ποιητικοὺς ἅμα καὶ μουσικοὺς ἄνδρας παρα-
λαβόντας, χρωμένους αὐτῶν ταῖς δυνάμεσιν τῆς ποιήσεως,
ταῖς δὲ ἡδοναῖς καὶ ἐπιθυμίαις μὴ ἐπιτρέποντας ἀλλ' ἤ c
τισιν ὀλίγοις, ἐξηγουμένους δὲ τὰ τοῦ νομοθέτου βουλή-
ματα, ὅτι μάλιστα ὄρχησίν τε καὶ ᾠδὴν καὶ πᾶσαν χορείαν
συστήσασθαι κατὰ τὸν αὐτῶν νοῦν. Πᾶσα δ' ἄτακτός γε
τάξιν λαβοῦσα περὶ μοῦσαν διατριβὴ καὶ μὴ παρατιθεμένης
τῆς γλυκείας μούσης ἀμείνων μυρίῳ· τὸ δ' ἡδὺ κοινὸν
πάσαις. Ἐν ᾗ γὰρ ἂν ἐκ παίδων τις μέχρι τῆς ἑστηκυίας
τε καὶ ἔμφρονος ἡλικίας διαβιῷ, σώφρονι μὲν μούσῃ καὶ
τεταγμένῃ, ἀκούων ἀεὶ τῆς ἐναντίας, μισεῖ καὶ ἀνελεύθερον d
αὐτὴν προσαγορεύει, τραφεὶς δ' ἐν τῇ κοινῇ καὶ γλυκείᾳ,
ψυχρὰν καὶ ἀηδῆ τὴν ταύτῃ ἐναντίαν εἶναί φησιν· ὥστε,
ὅπερ ἐρρήθη νυνδή, τό γε τῆς ἡδονῆς ἢ ἀηδίας περὶ ἑκατέρας
οὐδὲν πεπλεονέκτηκεν, ἐκ περιττοῦ δὲ ἡ μὲν βελτίους, ἡ δὲ
χείρους τοὺς ἐν αὐτῇ τραφέντας ἑκάστοτε παρέχεται.

ΚΛ. Καλῶς εἴρηκας.

ΑΘ. Ἔτι δὲ θηλείαις τε πρεπούσας ᾠδὰς ἄρρεσί τε
χωρίσαι που δέον ἂν εἴη τύπῳ τινὶ διορισάμενον, καὶ ἁρμο- e
νίαισιν δὴ καὶ ῥυθμοῖς προσαρμόττειν ἀναγκαῖον· δεινὸν
γὰρ ὅλῃ γε ἁρμονίᾳ ἀπᾴδειν ἢ ῥυθμῷ ἀρρυθμεῖν, μηδὲν
προσήκοντα τούτων ἑκάστοις ἀποδιδόντα τοῖς μέλεσιν.
Ἀναγκαῖον δὴ καὶ τούτων τὰ σχήματά γε νομοθετεῖν.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416228046/32 UNIVERSITÄT LEIPZIG